eul_wid: bky-ab

Ἡράκλειτος ὁ Ἐφέσιος · Heraclitus of Ephesus

# On the Nature of the Universe

## Ἀποσπάσματα

**Period:** Ἀρχαϊκή Archaic
**Dialect:** Μικταὶ διάλεκτοι Mixed Dialects (frg)
**Domain:** Φιλοσοφία Philosophy
**Format:** Πραγματεία Treatise
**Affiliation:** Presocratic

tit,1-126 ΗΡΑΚΛΕΙΤΟΥ ΠΕΡΙ ΦΥΣΕΩΣ

1 SEXT. adv. math. VII 132 (Vgl. A 4. 16. B 51) τοῦ δὲ λόγου τοῦ δ ' ἐόντος ἀεὶ ἀξύνετοι γίνονται ἄνθρωποι καὶ πρόσθεν ἢ ἀκοῦσαι καὶ ἀκούσαντες τὸ πρῶτον · γινομένων γὰρ πάντων κατὰ τὸν λόγον τόνδε ἀπείροισιν ἐοίκασ ι , πειρώμενοι καὶ ἐπέων καὶ ἔργων τοιούτω ν , ὁκοίων ἐγὼ διηγεῦμαι κατὰ φύσιν διαιρέων ἕκαστον καὶ φράζων ὅκως ἔχε ι . τοὺς δὲ ἄλλους ἀνθρώπους λανθάνει ὁκόσα ἐγερθέντες ποιοῦσι ν , ὅκωσπερ ὁκόσα εὕδοντες ἐπιλανθάνοντα ι.

2 SEXT. VII 133 [vgl. I 148, 26] διὸ δεῖ ἕπεσθαι τῶι 〈ξυνῶ ι, τουτέστι τῶι〉 κοινῶι· ξυνὸς γὰρ ὁ κοινός. τοῦ λόγου δ ' ἐόντος ξυνοῦ ζώουσιν οἱ πολλοὶ ὡς ἰδίαν ἔχοντες φρόνησι ν.

3 AËT. II 21, 4 (D. 351, 20) (περὶ μεγέθους ἡλίου) εὖρος ποδὸς ἀνθρωπείο υ.

4 ALBERTUS M. de veget. VI 401 p. 545 Meyer H. dixit quod Si felicitas esset in delectationibus corpori s , boves felices diceremu s , cum inveniant orobum ad comedendu m.

5 ARISTOCRITUS Theosophia 68 (Buresch Klaros S. 118), ORIG. c. CELS. VII 62 καθαίρονται δ ' ἄλλωι αἵματι μιαινόμενοι οἷον εἴ τις εἰς πηλὸν ἐμβὰς πηλῶι ἀπονίζοιτ ο . μαίνεσθαι δ ' ἂν δοκοί η , εἴ τις αὐτὸν ἀνθρώπων ἐπιφράσαιτο οὕτω ποιέοντ α . καὶ τοῖς ἀγάλμασι δὲ τουτέοισιν εὔχοντα ι , ὁκοῖον εἴ τις δόμοισι λεσχηνεύοιτ ο , οὔ τι γινώσκων θεοὺς οὐ δ ' ἥρωας οἵτινές εἰσ ι.

6 ARISTOTELES Meteor. B 2. 355a 13 [vgl. 68 B 158] ὁ ἥλιος οὐ μόνον, καθάπερ ὁ Ἡ. φησι, νέος ἐ φ ' ἡμέρηι ἐστίν, ἀλλ' ἀεὶ νέος συνεχῶς.

7 —de sensu 5. 443a 23 εἰ πάντα τὰ ὄντα καπνὸς γένοιτ ο , ῥῖνες ἂν διαγνοῖε ν.

8 —Eth. Nic. Θ 2. 1155b 4 Ἡ . τὸ ἀντίξουν συμφέρον καὶ ἐκ τῶν διαφερόντων καλλίστην ἁρμονίαν [καὶ πάντα κα τ ' ἔριν γίνεσθαι = B 80].

9 — —K 5. 1176a 7 ἑτέρα γὰρ ἵππου ἡδονὴ καὶ κυνὸς καὶ ἀνθρώπου, καθάπερ Ἡ. φησιν ὄνους σύρμα τ ' ἂν ἑλέσθαι μᾶλλον ἢ χρυσό ν· ἥδιον γὰρ χρυσοῦ τροφὴ ὄνοις.

10 [Arist.] de mundo 5. 396b 7 ἴσως δὲ τῶν ἐναντίων ἡ φύσις γλίχεται καὶ ἐκ τούτων ἀποτελεῖ τὸ σύμφωνον, οὐκ ἐκ τῶν ὁμοίων· ὥσπερ ἀμέλει τὸ ἄρρεν συνήγαγε πρὸς τὸ θῆλυ καὶ οὐχ ἑκάτερον πρὸς τὸ ὁμόφυλον καὶ τὴν πρώτην ὁμόνοιαν διὰ τῶν ἐναντίων συνῆψεν, οὐ διὰ τῶν ὁμοίων. ἔοικε δὲ καὶ ἡ τέχνη τὴν φύσιν μιμουμένη τοῦτο ποιεῖν· ζωγραφία μὲν γὰρ λευκῶν τε

Eulogikon public reading copy · View original HTML at eulogikon.org

καὶ μελάνων ὠχρῶν τε καὶ ἐρυθρῶν χρωμάτων ἐγκερασαμένη φύσεις τὰς εἰκόνας τοῖς προηγουμένοις ἀπετέλεσε συμφώνους, μουσικὴ δὲ ὀξεῖς ἅμα καὶ βαρεῖς μακρούς τε καὶ βραχεῖς φθόγγους μείξασα ἐν διαφόροις φωναῖς μίαν ἀπετέλεσεν ἁρμονίαν, γραμματικὴ δὲ ἐκ φωνηέντων καὶ ἀφώνων γραμμάτων κρᾶσιν ποιησαμένη τὴν ὅλην τέχνην ἀπ’ αὐτῶν συνεστήσατο. ταὐτὸ δὲ τοῦτο ἦν καὶ τὸ παρὰ τῶι σκοτεινῶι λεγόμενον Ἡρακλείτωι· συνάψιες ὅλα καὶ οὐχ ὅλ α , συμφερόμενον διαφερόμενο ν , συνᾶιδον διᾶιδο ν , καὶ ἐκ πάντων ἓν καὶ ἐξ ἑνὸς πάντ α.

11 [Arist.] de mundo 6 p. 401a 8 τῶν τε ζώιων τά τε ἄγρια καὶ ἥμερα τά τε ἐν ἀέρι καὶ ἐπὶ γῆς καὶ ἐν ὕδατι βοσκόμενα γίνεταί τε καὶ ἀκμάζει καὶ φθείρεται τοῖς τοῦ θεοῦ πειθόμενα θεσμοῖς· πᾶν γὰρ ἑρπετὸν πληγῆι νέμεται, ὥς φησιν Ἡράκλειτος.

12 ARIUS DID. ap. Eus. P. E. XV 20 (D. 471, 1) Ζήνων τὴν ψυχὴν λέγει αἰσθητικὴν ἀναθυμίασιν, καθάπερ Ἡ.· βουλόμενος γὰρ ἐμφανίσαι, ὅτι αἱ ψυχαὶ ἀναθυμιώμεναι νοεραὶ ἀεὶ γίνονται, εἴκασεν αὐτὰς τοῖς ποταμοῖς λέγων οὕτως· ποταμοῖσι τοῖσιν αὐτοῖσιν ἐμβαίνουσιν ἕτερα καὶ ἕτερα ὕδατα ἐπιρρεῖ · καὶ ψυχαὶ δὲ ἀπὸ τῶν ὑγρῶν ἀναθυμιῶνται (? )

13 ATHEN. V p. 178 F δεῖ γὰρ τὸν χαρίεντα μήτε ῥυπᾶν μήτε αὐχμεῖν μήτε βορβόρωι χαίρειν καθ’ Ἡράκλειτον. CLEM. Strom. I 2 (II 4, 3 St.) ὕες βορβόρωι ἥδονται μᾶλλον ἢ καθαρῶι ὕδατι.

14 CLEM. Protr. 22 (p. 16, 24 St.) τίσι δὴ μαντεύεται Ἡ. ὁ Ἐφέσιος; νυκτιπόλοι ς , μάγοι ς , βάκχοι ς , λήναι ς , μύσται ς· τούτοις ἀπειλεῖ τὰ μετὰ θάνατον, τούτοις μαντεύεται τὸ πῦρ· τὰ γὰρ νομιζόμενα κα τ ’ ἀνθρώπους μυστήρια ἀνιερωστὶ μυεῦντα ι.

15 — —34 (p. 26, 6) εἰ μὴ γὰρ Διονύσωι πομπὴν ἐποιοῦντο καὶ ὕμνεον ᾆισμα αἰδοίοισι ν , ἀναιδέστατα εἴργασ τ ’ ἄν · ὡυτὸς δὲ Ἀίδης καὶ Διόνυσο ς , ὅτεωι μαίνονται καὶ ληναΐζουσι ν.

16 CLEM. Paedag. II 99 (I 216, 28 St.) λήσεται μὲν γὰρ ἴσως τὸ αἰσθητὸν φῶς τις, τὸ δὲ νοητὸν ἀδύνατόν ἐστιν, ἢ ὥς φησιν Ἡ.· τὸ μὴ δῦνόν ποτε πῶς ἄν τις λάθο ι;

17 —Strom. II 8 (II 117, 1 St.) οὐ γὰρ φρονέουσι τοιαῦτα πολλο ί , ὁκόσοι ἐγκυρεῦσι ν , οὐδὲ μαθόντες γινώσκουσι ν , ἑωυτοῖσι δὲ δοκέουσ ι.

18 — —II 17 (II 121, 24) ἐὰν μὴ ἔλπητα ι , ἀνέλπιστον οὐκ ἐξευρήσε ι , ἀνεξερεύνητον ἐὸν καὶ ἄπορο ν.

19 — —II 24 (II 126, 5) ἀπίστους εἶναί τινας ἐπιστύφων Ἡ. φησιν· ἀκοῦσαι οὐκ ἐπιστάμενοι οὐ δ ’ εἰπεῖ ν.

20 — —III 14 (II 201, 23) Ἡ. γοῦν κακίζων φαίνεται τὴν γένεσιν, ἐπειδὰν φῆι· γενόμενοι ζώειν ἐθέλουσι μόρους τ ’ ἔχει ν , μᾶλλον δὲ ἀναπαύεσθα ι , καὶ παῖδας καταλείπουσι μόρους γενέσθα ι.

21 CLEM. Strom. III 21 (II 205, 7) οὐχὶ καὶ Ἡ. θάνατον τὴν γένεσιν καλεῖ ... ἐν οἷς φησι· θάνατός ἐστιν ὁκόσα ἐγερθέντες ὁρέομε ν , ὁκόσα δὲ εὕδοντες ὕπνο ς.

22 — —IV 4 (II 249, 23) χρυσὸν γὰρ οἱ διζήμενοι γῆν πολλὴν ὀρύσσουσι καὶ εὑρίσκουσιν ὀλίγο ν.

23 — — —10 (II 252, 25) Δίκης ὄνομα οὐκ ἂν ἤιδεσα ν , εἰ ταῦτα μὴ ἦ ν.

24 — — —16 (II 255, 30) ἀρηιφάτους θεοὶ τιμῶσι καὶ ἄνθρωπο ι.

25 — — —50 (II 271, 3) μόροι γὰρ μέζονες μέζονας μοίρας λαγχάνουσ ι.

26 — — —143 (II 310, 21) ἄνθρωπος ἐν εὐφρόνηι φάος ἅπτεται ἑαυτῶι [ἀποθανὼν] ἀποσβεσθεὶς ὄψει ς , ζῶν δὲ ἅπτεται τεθνεῶτος εὕδων, [ἀποσβεσθεὶς ὄψεις], ἐγρηγορὼς ἅπτεται εὕδοντο ς.

27 — — —146 (II 312, 15) ἀνθρώπους μένει ἀποθανόντας ἅσσα οὐκ ἔλπονται οὐδὲ δοκέουσι ν.

28

Eulogikon public reading copy · View original HTML at eulogikon.org

— —V 9 (II 331, 20) δοκέοντα γὰρ ὁ δοκιμώτατος γινώσκε ι , φυλάσσει · καὶ μέντοι καὶ Δίκη καταλήψεται ψευδῶν τέκτονας καὶ μάρτυρα ς.

29 — — —60 (II 366, 11) vgl. IV 50 (II 271, 17) αἱρεῦνται γὰρ ἓν ἀντὶ ἁπάντων οἱ ἄριστο ι , κλέος ἀέναον θνητῶν · οἱ δὲ πολλοὶ κεκόρηνται ὅκωσπερ κτήνε α.

30 — — —105 (II 396, 10) [Plut. d. anim. 5 p. 1014 A] κόσμον τόνδ ε , τὸν αὐτὸν ἁπάντω ν , οὔτε τις θεῶν οὔτε ἀνθρώπων ἐποίησε ν , ἀλ λ ’ ἦν ἀεὶ καὶ ἔστιν καὶ ἔσται πῦρ ἀείζωο ν , ἁπτόμενον μέτρα καὶ ἀποσβεννύμενον μέτρ α.

31 CLEM. Strom. V 105 (II 396, 13) ὅτι δὲ καὶ γενητὸν καὶ φθαρτὸν εἶναι ἐδογμάτιζεν, μηνύει τὰ ἐπιφερόμενα· πυρὸς τροπαὶ πρῶτον θάλασσ α , θαλάσσης δὲ τὸ μὲν ἥμισυ γ ῆ , τὸ δὲ ἥμισυ πρηστή ρ. δυνάμει γὰρ λέγει ὅτι τὸ πῦρ ὑπὸ τοῦ διοικοῦντος λόγου καὶ θεοῦ τὰ σύμπαντα δι’ ἀέρος τρέπεται εἰς ὑγρὸν τὸ ὡς σπέρμα τῆς διακοσμήσεως, ὃ καλεῖ θάλασσαν, ἐκ δὲ τούτου αὖθις γίνεται γῆ καὶ οὐρανὸς καὶ τὰ ἐμπεριεχόμενα. ὅπως δὲ πάλιν ἀναλαμβάνεται καὶ ἐκπυροῦται, σαφῶς διὰ τούτων δηλοῖ· 〈γῆ〉 θάλασσα διαχέετα ι , καὶ μετρέεται εἰς τὸν αὐτὸν λόγο ν , ὁκοῖος πρόσθεν ἦν ἢ γενέσθαι γ ῆ.

32 — — —116 (II 404, 1) ἓν τὸ σοφὸν μοῦνον λέγεσθαι οὐκ ἐθέλει καὶ ἐθέλει Ζηνὸς ὄνομ α .

33 — — —νόμος καὶ βουλῆι πείθεσθαι ἑνό ς .

34 — — —ἀξύνετοι ἀκούσαντες κωφοῖσιν ἐοίκασι · φάτις αὐτοῖσιν μαρτυρεῖ παρεόντας ἀπεῖνα ι.

35 — —141 (II 421, 4) χρὴ γὰρ εὖ μάλα πολλῶν ἵστορας φιλοσόφους ἄνδρας εἶναι καθ’ Ἡράκλειτον.

36 — —VI 16 (II 435, 25) ψυχῇσιν θάνατος ὕδωρ γενέσθα ι , ὕδατι δὲ θάνατος γῆν γενέσθα ι , ἐκ γῆς δὲ ὕδωρ γίνετα ι , ἐξ ὕδατος δὲ ψυχ ή.

37 COLUMELLA VIII 4 si modo credimus Ephesio Heracleto qui ait sues caeno [ vgl. B 13], cohortales aves pulvere vel cinere lavar i.

38 DIOG. I 23 [11 A 1 Thales] δοκεῖ δὲ κατά τινας πρῶτος ἀστρολογῆσαι ... μαρτυρεῖ δ’ αὐτῶι καὶ Ἡ. καὶ Δημόκριτος.

39 DIOG. I 88 ἐν Πριήνηι Βίας ἐγένετο ὁ Τευτάμε ω , οὗ πλείων λόγος ἢ τῶν ἄλλω ν.

40 —IX 1 [s. A 1 I 140, 2, vgl. ATHEN. XIII 610 B] πολυμαθίη νόον ἔχειν οὐ διδάσκει · Ἡσίοδον γὰρ ἂν ἐδίδαξε καὶ Πυθαγόρην αὖτίς τε Ξενοφάνεά τε καὶ Ἑκαταῖο ν.

41 — —εἶναι γὰρ ἓν τὸ σοφό ν , ἐπίστασθαι γνώμη ν , ὁτέη ἐκυβέρνησε πάντα διὰ πάντω ν .

42 — —τόν τε Ὅμηρον ἔφασκεν ἄξιον ἐκ τῶν ἀγώνων ἐκβάλλεσθαι καὶ ῥαπίζεσθαι καὶ Ἀρχίλοχον ὁμοίως [vgl. A 22 B 56].

43 — —2 ὕβριν χρὴ σβεννύναι μᾶλλον ἢ πυρκαϊή ν .

44 — —μάχεσθαι χρὴ τὸν δῆμον ὑπὲρ τοῦ νόμου ὅκωσπερ τείχεο ς.

45 — —7 ψυχῆς πείρατα ἰὼν οὐκ ἂν ἐξεύροι ο , πᾶσαν ἐπιπορευόμενος ὁδόν · οὕτω βαθὺν λόγον ἔχε ι.

46 — —τήν τε οἴησιν ἱερὰν νόσον ἔλεγε καὶ τὴν ὅρασιν ψεύδεσθαι.

47 — —73 μὴ εἰκῆ περὶ τῶν μεγίστων συμβαλλώμεθ α.

48 ETYM. GEN. βίος: τῶι οὖν τόξωι ὄνομα βίο ς , ἔργον δὲ θάνατο ς.

49 GALEN. de dign. puls. VIII 773 K. [SYMMACH. Ep. IX 115, THEOD. PRODR. Ep. p. 20] εἷς ἐμοὶ μύριο ι , ἐὰν ἄριστος ᾖ ι.

49a

Eulogikon public reading copy · View original HTML at eulogikon.org

HERACLIT. Alleg. 24 (nach 62) ποταμοῖς τοῖς αὐτοῖς ἐμβαίνομέν τε καὶ οὐκ ἐμβαίνομε ν , εἶμέν τε καὶ οὐκ εἶμε ν.

50 HIPPOL. Refut. IX 9 Ἡ. μὲν οὖν φησιν εἶναι τὸ πᾶν διαιρετὸν ἀδιαίρετον, γενητὸν ἀγένητον, θνητὸν ἀθάνατον, λόγον αἰῶνα, πατέρα υἱόν, θεὸν δίκαιον· ‘ οὐκ ἐμο ῦ , ἀλλὰ τοῦ λόγου ἀκούσαντας ὁμολογεῖν σοφόν ἐστιν ἓν πάντα εἶναι ‘ ὁ Ἡ. φησι.

51 HIPPOL. IX 9 (nach B 50) καὶ ὅτι τοῦτο οὐκ ἴσασι πάντες οὐδὲ ὁμολογοῦσιν, ἐπιμέμφεται ὧδέ πως· οὐ ξυνιᾶσιν ὅκως διαφερόμενον ἑωυτῶι ὁμολογέει · παλίντροπος ἁρμονίη ὅκωσπερ τόξου καὶ λύρη ς .

52 — —αἰὼν παῖς ἐστι παίζω ν , πεσσεύων · παιδὸς ἡ βασιληί η .

53 — —Πόλεμος πάντων μὲν πατήρ ἐστ ι , πάντων δὲ βασιλεύ ς , καὶ τοὺς μὲν θεοὺς ἔδειξε τοὺς δὲ ἀνθρώπου ς , τοὺς μὲν δούλους ἐποίησε τοὺς δὲ ἐλευθέρου ς .

54 — —ἁρμονίη ἀφανὴς φανερῆς κρείττω ν .

55 — —ὅσων ὄψις ἀκοὴ μάθησι ς , ταῦτα ἐγὼ προτιμέ ω .

56 — —ἐξηπάτηνται, φησίν, οἱ ἄνθρωποι πρὸς τὴν γνῶσιν τῶν φανερῶν παραπλησίως Ὁμήρω ι , ὃς ἐγένετο τῶν Ἑλλήνων σοφώτερος πάντω ν . ἐκεῖνόν τε γὰρ παῖδες φθεῖρας κατακτείνοντες ἐξηπάτησαν εἰπόντες · ὅσα εἴδομεν καὶ ἐλάβομε ν , ταῦτα ἀπολείπομε ν , ὅσα δὲ οὔτε εἴδομεν οὔ τ ’ ἐλάβομε ν , ταῦτα φέρομε ν .

57 —IX 10 διδάσκαλος δὲ πλείστων Ἡσίοδος · τοῦτον ἐπίστανται πλεῖστα εἰδένα ι , ὅστις ἡμέρην καὶ εὐφρόνην οὐκ ἐγίνωσκεν · ἔστι γὰρ ἕ ν.

58 — —καὶ ἀγαθὸν καὶ κακόν [näml. ἕν ἐστιν]. οἱ γοῦν ἰατρο ί, φησὶν ὁ Ἡ., τέμνοντε ς , καίοντες, πάντηι βασανίζοντες κακῶς τοὺς ἀρρωστοῦντας, ἐπαιτέονται μηδὲν ἄξιοι μισθὸν λαμβάνειν παρὰ τῶν ἀρρωστούντων, ταὐτὰ ἐργαζόμενοι, τὰ ἀγαθὰ καὶ τὰς νόσους.

59 HIPPOL. IX 10 γναφείωι ὁδὸς εὐθεῖα καὶ σκολιὴ (ἡ τοῦ ὀργάνου τοῦ καλουμένου κοχλίου ἐν τῶι γναφείωι περιστροφὴ εὐθεῖα καὶ σκολιή· ἄνω γὰρ ὁμοῦ καὶ κύκλωι περιέρχεται) μία ἐστ ί, φησί, καὶ ἡ αὐτ ή .

60 — —ὁδὸς ἄνω κάτω μία καὶ ὡυτ ή .

61 — —θάλασσα ὕδωρ καθαρώτατον καὶ μιαρώτατο ν , ἰχθύσι μὲν πότιμον καὶ σωτήριο ν , ἀνθρώποις δὲ ἄποτον καὶ ὀλέθριο ν .

62 — —ἀθάνατοι θνητο ί , θνητοὶ ἀθάνατο ι , ζῶντες τὸν ἐκείνων θάνατο ν , τὸν δὲ ἐκείνων βίον τεθνεῶτε ς.

63 — —λέγει δὲ καὶ σαρκὸς ἀνάστασιν ταύτης 〈τῆσ〉 φανερᾶς, ἐν ἧι γεγενήμεθα, καὶ τὸν θεὸν οἶδε ταύτης τῆς ἀναστάσεως αἴτιον οὕτως λέγων· ἔνθα δ ’ ἐόντι ἐπανίστασθαι καὶ φύλακας γίνεσθαι ἐγερτὶ ζώντων καὶ νεκρῶ ν. λέγει δὲ καὶ τοῦ κόσμου κρίσιν καὶ πάντων τῶν ἐν αὐτῶι διὰ πυρὸς

64 γίνεσθαι λέγων οὕτως· τὰ δὲ πάντα οἰακίζει Κεραυνός, τουτέστι κατευθύνει, κεραυνὸν τὸ πῦρ λέγων τὸ αἰώνιον. λέγει δὲ καὶ φρόνιμον τοῦτο εἶναι τὸ πῦρ καὶ τῆς διοικήσεως τῶν

65 ὅλων αἴτιον· καλεῖ δὲ αὐτὸ χρησμοσύνην καὶ κόρο ν· χρησμοσύνη δέ ἐστιν ἡ διακόσμησις κατ’ αὐτόν, ἡ δὲ ἐκπύρωσις

66 κόρος. πάντα γά ρ, φησί, τὸ πῦρ ἐπελθὸν κρινεῖ καὶ καταλήψετα ι .

67 — —ὁ θεὸς ἡμέρη εὐφρόν η , χειμὼν θέρο ς , πόλεμος εἰρήν η , κόρος λιμός (τἀναντία ἅπαντα· οὗτος ὁ νοῦς), ἀλλοιοῦται δὲ ὅκωσπερ 〈πῦρ 〉 , ὁπόταν συμμιγῆι θυώμασι ν , ὀνομάζεται κα θ ’ ἡδονὴν ἑκάστο υ.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

67a HISDOSUS Scholasticus ad Chalcid. Plat. Tim. [cod. Paris. l. 8624 s. XII f. 2] ita vitalis calor a sole procedens omnibus quae vivunt vitam subministrat. cui sententiae Heraclitus adquiescens optimam similitudinem dat de aranea ad animam, de tela araneae ad corpus. sic 〈ut〉 arane a , ai t , stans in medio telae senti t , quam cito musca aliquem filum suum corrumpit itaque illuc celeriter currit quasi de fili persectione dolen s , sic hominis anima aliqua parte corporis laesa illuc festine meat quasi impatiens laesionis corpori s , cui firme et proportionaliter iuncta es t.

68 IAMBL. de myst. I 11 καὶ διὰ τοῦτο εἰκότως αὐτὰ ἄκεα Ἡ. προσεῖπεν ὡς ἐξακεσόμενα τὰ δεινὰ καὶ τὰς ψυχὰς ἐξάντεις ἀπεργαζόμενα τῶν ἐν τῆι γενέσει συμφορῶν.

69 — —V 15 θυσιῶν τοίνυν τίθημι διττὰ εἴδη· τὰ μὲν τῶν ἀποκεκαθαρμένων παντάπασιν ἀνθρώπων, οἷα ἐφ’ ἑνὸς ἄν ποτε γένοιτο σπανίως, ὥς φησιν Ἡ., ἤ τινων ὀλίγων εὐαριθμήτων ἀνδρῶν· τὰ δ’ ἔνυλα κτλ.

70 —de anima [Stob. Ecl. II 1, 16] πόσωι δὴ οὖν βέλτιον Ἡ. παίδων ἀθύρματα νενόμικεν εἶναι τὰ ἀνθρώπινα δοξάσματα.

71 MARC. ANTON. IV 46 μεμνῆσθαι δὲ καὶ τοῦ ἐπιλανθανομένου ἧι ἡ ὁδὸς ἄγε ι .

72 — —ὧι μάλιστα διηνεκῶς ὁμιλοῦσι λόγωι τῶι τὰ ὅλα διοικοῦντ ι , τούτωι διαφέροντα ι , καὶ οἷς κα θ ’ ἡμέραν ἐγκυροῦσ ι , ταῦτα αὐτοῖς ξένα φαίνετα ι .

73 — —οὐ δεῖ ὥσπερ καθεύδοντας ποιεῖν καὶ λέγει ν· καὶ γὰρ καὶ τότε δοκοῦμεν ποιεῖν καὶ λέγειν.

74 — —οὐ δεῖ 〈ὡσ〉 παῖδας τοκεώνων, τοῦτ’ ἔστι κατὰ ψιλόν· καθότι παρειλήφαμεν.

75 MARC. ANTON. VI 42 τοὺς καθεύδοντας οἶμαι ὁ Ἡ. ἐργάτας εἶναι λέγει καὶ συνεργοὺς τῶν ἐν τῶι κόσμωι γινομένω ν.

76 MAXIM. TYR. XII 4 p. 489 ζῆι πῦρ τὸν γῆς θάνατον καὶ ἀὴρ ζῆι τὸν πυρὸς θάνατον, ὕδωρ ζῆι τὸν ἀέρος θάνατον, γῆ τὸν ὕδατος. PLUT. de E 18. 392c πυρὸς θάνατος ἀέρι γένεσις, καὶ ἀέρος θάνατος ὕδατι γένεσις. MARC. IV 46 ὅτι γῆς θάνατος ὕδωρ γενέσθαι καὶ ὕδατος θάνατος ἀέρα γενέσθαι καὶ ἀέρος πῦρ καὶ ἔμπαλιν.

77 NUMEN. fr. 35 Thedinga ὅθεν καὶ Ἡράκλειτον ψυχῆισι φάναι τέρψιν ἢ θάνατον ὑγρῆισι γενέσθα ι. τέρψιν δὲ εἶναι αὐταῖς τὴν εἰς γένεσιν πτῶσιν. ἀλλαχοῦ δὲ φάναι ζῆν ἡμᾶς τὸν ἐκείνων θάνατον καὶ ζῆν ἐκείνας τὸν ἡμέτερον θάνατο ν.

78 ORIG. c. Cels. VI 12 (II 82, 23 Koetschau) ἦθος γὰρ ἀνθρώπειον μὲν οὐκ ἔχει γνώμα ς , θεῖον δὲ ἔχε ι .

79 — —ἀνὴρ νήπιος ἤκουσε πρὸς δαίμονος ὅκωσπερ παῖς πρὸς ἀνδρό ς.

80 — —VI 42 (II 111, 11 Koetschau) εἰδέναι δὲ χρὴ τὸν πόλεμον ἐόντα ξυνό ν , καὶ δίκην ἔρι ν , καὶ γινόμενα πάντα κα τ ’ ἔριν καὶ χρεώ ν.

81 PHILODEM. Rhet. I c. 57. 62 S. 351. 354 Sudh. ἡ δὲ τῶν ῥητόρων εἰσαγωγὴ πάντα τὰ θεωρήματα πρὸς τοῦτ’ ἔχει τείνοντα καὶ κατὰ τὸν Ἡράκλειτον κοπίδων ἐστὶν ἀρχηγό ς. SCHOL. in Eur. Hec. 131 κοπίδας τὰς λόγων τέχνας ἔλεγον ἄλλοι τε καὶ ὁ Τίμαιος οὕτως γράφων [FHG IV p. 640b]· ‘ὥστε καὶ φαίνεσθαι μὴ τὸν Πυθαγόραν εὑρετὴν ὄντα τῶν ἀληθινῶν κοπίδων μηδὲ τὸν ὑφ’ Ἡρακλείτου κατηγορούμενον, ἀλλ’ αὐτὸν τὸν Ἡράκλειτον εἶναι τὸν ἀλαζονευόμενον‘.

82 PLATO Hipp. maior 289 A πιθήκων ὁ κάλλιστος αἰσχρὸς ἀνθρώπων γένει συμβάλλειν.

83 — —B ἀνθρώπων ὁ σοφώτατος πρὸς θεὸν πίθηκος φανεῖται καὶ σοφίαι καὶ κάλλει καὶ τοῖς ἄλλοις πᾶσιν.

84a PLOTIN. Enn. IV 8, 1 μεταβάλλον ἀναπαύετα ι .

Eulogikon public reading copy · View original HTML at eulogikon.org

84b —κάματός ἐστι τοῖς αὐτοῖς μοχθεῖν καὶ ἄρχεσθα ι.

85 PLUT. Coriol. 22 θυμῶι μάχεσθαι χαλεπόν · ὃ γὰρ ἂν θέλη ι , ψυχῆς ὠνεῖτα ι.

86 — —38 ἀλλὰ τῶν μὲν θείων τὰ πολλά, καθ' Ἡράκλειτον, ἀπιστίηι διαφυγγάνει μὴ γιγνώσκεσθα ι.

87 —de aud. 7 p. 41 A βλὰξ ἄνθρωπος ἐπὶ παντὶ λόγωι ἐπτοῆσθαι φιλε ῖ.

88 —cons. ad Apoll. 10 p. 106 E ταὐτό τ ' ἔνι ζῶν καὶ τεθνηκὸς καὶ [ τ ὸ ] ἐγρηγορὸς καὶ καθεῦδον καὶ νέον καὶ γηραιόν · τάδε γὰρ μεταπεσόντα ἐκεῖνά ἐστι κἀκεῖνα πάλιν μεταπεσόντα ταῦτ α.

89 —de superst. 3 p. 166 C ὁ Ἡ. φησι τοῖς ἐγρηγορόσιν ἕνα καὶ κοινὸν κόσμον εἶνα ι, τῶν δὲ κοιμωμένων ἕκαστον εἰς ἴδιον ἀποστρέφεσθαι.

90 —de E 8 p. 388 E πυρός τε ἀνταμοιβὴ τὰ πάντα καὶ πῦρ ἁπάντων ὅκωσπερ χρυσοῦ χρήματα καὶ χρημάτων χρυσό ς.

91 — —18 p. 392 B ποταμῶι γὰρ οὐκ ἔστιν ἐμβῆναι δὶς τῶι αὐτῶι καθ' Ἡράκλειτον οὐδὲ θνητῆς οὐσίας δὶς ἅψασθαι κατὰ ἕξιν 〈τῆς αὐτῆσ〉 · ἀλλ' ὀξύτητι καὶ τάχει μεταβολῆς σκίδνησι καὶ πάλιν συνάγει (μᾶλλον δὲ οὐδὲ πάλιν οὐδ' ὕστερον, ἀλλ' ἅμα συνίσταται καὶ ἀπολείπει) καὶ πρόσεισι καὶ ἄπεισ ι.

92 PLUT. de Pyth. or. 6 p. 397 A Οὐχ ὁρᾷις .., ὅσην χάριν ἔχει τὰ Σαπφικὰ μέλη, κηλοῦντα καὶ καταθέλγοντα τοὺς ἀκροωμένους; Σίβυλλα δὲ μαινομένωι στόματι καθ' Ἡράκλειτον ἀγέλαστα καὶ ἀκαλλώπιστα καὶ ἀμύριστα φθεγγομένη χιλίων ἐτῶν ἐξικνεῖται τῆι φωνῆι διὰ τὸν θεό ν.

93 — —21 p. 404 D ὁ ἄνα ξ , οὗ τὸ μαντεῖόν ἐστι τὸ ἐν Δελφοῖ ς , οὔτε λέγει οὔτε κρύπτει ἀλλὰ σημαίνε ι .

94 —de exil. 11 p. 604 A Ἥλιος γὰρ οὐχ ὑπερβήσεται μέτρα · εἰ δὲ μ ή , Ἐρινύες μιν Δίκης ἐπίκουροι ἐξευρήσουσι ν.

95 —Sympos. III pr. 1 p. 644 F ἀμαθίην γὰρ ἄμεινον κρύπτειν, ἔργον δὲ ἐν ἀνέσει καὶ παρ' οἶνον. STOB. Flor: I 175 κρύπτειν ἀμαθίην κρέσσον ἢ ἐς τὸ μέσον φέρειν.

96 — —IV 4, 3. p. 669 A νέκυες γὰρ κοπρίων ἐκβλητότερο ι.

97 —an seni resp. 7 p. 787C κύνες γὰρ καταβαΰζουσιν ὧν ἂν μὴ γινώσκωσ ι.

98 —fac. lun. 28 p. 943 E αἱ ψυχαὶ ὀσμῶνται κα θ ' Ἅιδη ν.

99 —aqu. et ign. comp. 7 p. 957 A; vgl. de fort. 3. p. 98 C εἰ μὴ ἥλιος ἦ ν , ἕνεκα τῶν ἄλλων ἄστρων εὐφρόνη ἂν ἦ ν.

100 —Qu. Plat. 8, 4 p. 1007 D ... περιόδους· ὧν ὁ ἥλιος ἐπιστάτης ὢν καὶ σκοπὸς ὁρίζειν καὶ βραβεύειν καὶ ἀναδεικνύναι καὶ ἀναφαίνειν μεταβολὰς καὶ ὥρας αἳ πάντα φέρουσι καθ' Ἡράκλειτον κτλ.

101 —adv. Colot. 20. 1118 C ἐδιζησάμην ἐμεωυτό ν.

101a POLYB. XII 27 δυεῖν γὰρ ὄντων κατὰ φύσιν ὡσανεί τινων ὀργάνων ἡμῖν, οἷς πάντα πυνθανόμεθα καὶ πολυπραγμονοῦμεν, ἀκοῆς καὶ ὁράσεως, ἀληθινωτέρας δ' οὔσης οὐ μικρῶι τῆς ὁράσεως κατὰ τὸν Ἡράκλειτον· ὀφθαλμοὶ γὰρ τῶν ὤτων ἀκριβέστεροι μάρτυρε ς.

102 PORPHYR. zu Δ 4 [I 69, 6 Schr.] τῶι μὲν θεῶι καλὰ πάντα καὶ ἀγαθὰ καὶ δίκαι α , ἄνθρωποι δὲ ἃ μὲν ἄδικα ὑπειλήφασιν ἃ δὲ δίκαι α.

103 PORPHYR. zu Ξ 200 [I 190 Schr.] ξυνὸν γὰρ ἀρχὴ καὶ πέρας ἐπὶ κύκλου περιφερεία ς.

104 PROCL. in Alc. I p. 525, 21 (1864) τίς γὰρ αὐτῶν νόος ἢ φρή ν ; δήμων ἀοιδοῖσι πείθονται καὶ διδασκάλωι χρείωνται ὁμίλωι οὐκ εἰδότες ὅτι ' οἱ πολλοὶ κακο ί , ὀλίγοι δὲ ἀγαθοί '.

105 SCHOL. HOM. AT zu Σ 251 (Ἕκτορι δ’ ἦεν ἑταῖρος, [Πουλυδάμας], ἰῆι δ’ ἐν νυκτὶ γένοντο) Ἡ. ἐντεῦθεν ἀστρολόγον φησὶ τὸν Ὅμηρον καὶ ἐν οἷς φησι ‘μοῖραν δ’ οὔ τινά φημι πεφυγμένον ἔμμεναι ἀνδρῶν‘ κτλ.

106 PLUT. Camill. 19 περὶ δ’ ἡμερῶν ἀποφράδων εἴτε χρὴ τίθεσθαί τινας εἴτε ὀρθῶς Ἡράκλειτος ἐπέπληξεν Ἡσιόδωι τὰς μὲν ἀγαθὰς ποιουμένωι, τὰς δὲ φαύλας [Opp. 765ff.], ὡς ἀγνοοῦντι φύσιν ἡμέρας ἁπάσης μίαν οὖσαν, ἑτέρωθι διηπόρηται [vgl. B 40. 57]. SENECA Ep. 12, 7 unus dies par omni est.

107 SEXT. EMP. VII 126 κακοὶ μάρτυρες ἀνθρώποισιν ὀφθαλμοὶ καὶ ὦτα βαρβάρους ψυχὰς ἐχόντων

108 STOB. Flor. I 174 Hense Ἡρακλείτου. ὁκόσων λόγους ἤκουσ α , οὐδεὶς ἀφικνεῖται ἐς τοῦτ ο , ὥστε γινώσκειν ὅτι σοφόν ἐστι πάντων κεχωρισμένο ν.

110 — —176 ἀνθρώποις γίνεσθαι ὁκόσα θέλουσιν οὐκ ἄμεινον [vgl. B 85].

111 — —177 νοῦσος ὑγιείην ἐποίησεν ἡδὺ καὶ ἀγαθό ν , λιμὸς κόρο ν , κάματος ἀνάπαυσι ν.

112 STOB. Flor. I 178 σωφρονεῖν ἀρετὴ μεγίστ η , καὶ σοφίη ἀληθέα λέγειν καὶ ποιεῖν κατὰ φύσιν ἐπαΐοντα ς.

113 — —179 ξυνόν ἐστι πᾶσι τὸ φρονέει ν.

114 — —179 ξὺν νόωι λέγοντας ἰσχυρίζεσθαι χρὴ τῶι ξυνῶι πάντω ν , ὅκωσπερ νόμωι πόλι ς , καὶ πολὺ ἰσχυροτέρω ς . τρέφονται γὰρ πάντες οἱ ἀνθρώπειοι νόμοι ὑπὸ ἑνὸς τοῦ θείου · κρατεῖ γὰρ τοσοῦτον ὁκόσον ἐθέλει καὶ ἐξαρκεῖ πᾶσι καὶ περιγίνετα ι.

115 — —180a ψυχῆς ἐστι λόγος ἑαυτὸν αὔξω ν .

116 — —V 6 ἀνθρώποισι πᾶσι μέτεστι γινώσκειν ἑωυτοὺς καὶ σωφρονεῖ ν.

117 — —7 ἀνὴρ ὁκόταν μεθυσθῇ ι , ἄγεται ὑπὸ παιδὸς ἀνήβου σφαλλόμενο ς , οὐκ ἐπαΐων ὅκη βαίνε ι , ὑγρὴν τὴν ψυχὴν ἔχω ν.

118 — —8 αὐγὴ ξηρὴ ψυχὴ σοφωτάτη καὶ ἀρίστη oder vielmehr: αὔη ψυχὴ σοφωτάτη καὶ ἀρίστ η .

119 — —IV 40, 23 Ἡ. ἔφη ὡς ἦθος ἀνθρώπωι δαίμω ν.

120 STRABO I 6 p. 3 βέλτιον δ’ Ἡ. καὶ ὁμηρικωτέρως ὁμοίως ἀντὶ τοῦ ἀρκτικοῦ τὴν ἄρκτον ὀνομάζων· ἠοῦς καὶ ἑσπέρας τέρματα ἡ ἄρκτος καὶ ἀντίον τῆς ἄρκτου οὖρος αἰθρίου Διό ς. ὁ γὰρ ἀρκτικός ἐστι δύσεως καὶ ἀνατολῆς ὅρος, οὐχ ἡ ἄρκτος.

121 STRABO XIV 25 p. 642. DIOG. IX 2 [s. I 140, 5] ἄξιον Ἐφεσίοις ἡβηδὸν ἀπάγξασθαι πᾶσι καὶ τοῖς ἀνήβοις τὴν πόλιν καταλιπεῖ ν , οἵτινες Ἑρμόδωρον ἄνδρα ἑωυτῶν ὀνήιστον ἐξέβαλον φάντες · ἡμέων μηδὲ εἷς ὀνήιστος ἔστ ω , εἰ δὲ μ ή , ἄλλη τε καὶ με τ ’ ἄλλω ν.

122 SUID. s. v. ἀγχιβατεῖν und ἀμφισβατεῖν· ἀγχιβασίην Ἡράκλειτος.

123 THEMIST. Or. 5 p. 69 φύσις δὲ καθ’ Ἡράκλειτον κρύπτεσθαι φιλε ῖ.

124 THEOPHR. Metaphys. 15 p. 7a 10 Usen. ἄλογον δὲ κἀκεῖνο δόξειεν ἄν, εἰ ὁ μὲν ὅλος οὐρανὸς καὶ ἕκαστα τῶν μερῶν ἅπαντ’ ἐν τάξει καὶ λόγωι, καὶ μορφαῖς καὶ δυνάμεσιν καὶ περιόδοις, ἐν δὲ ταῖς ἀρχαῖς μηθὲν τοιοῦτον, ἀλλ’ ὥσπερ σάρμα εἰκῆ κεχυμένων ὁ κάλλιστος, φησὶν Ἡράκλειτος, [ὁ] κόσμο ς.

125 —de vertig. 9 καὶ ὁ κυκεὼν διίσταται 〈μὴ〉 κινούμενο ς.

125a TZETZES ad Aristoph. Plut. 88 τυφλὸν δὲ τὸν Πλοῦτον ποιεῖ ὡς οὐκ ἀρετῆς, κακίας δὲ παραιτίου. ὅθεν καὶ Ἡ. ὁ Ἐφέσιος ἀρώμενος Ἐφεσίοις, οὐκ ἐπευχόμενος· μὴ ἐπιλίποι ὑμᾶς πλοῦτος, ἔφη, Ἐφέσιο ι , ἵ ν ’ ἐξελέγχοισθε πονηρευόμενο ι.

126

Eulogikon public reading copy · View original HTML at eulogikon.org

—schol. ad exeg. II. p. 126 Herm. τὰ ψυχρὰ θέρετα ι , θερμὸν ψύχετα ι , ὑγρὸν αὐαίνετα ι , καρφαλέον νοτίζετα ι.

126a ANATOL. de decade p. 36 Heiberg (Annales d'histoire. Congres de Paris 1901. 5. section) κατὰ λόγον δὲ ὡρέων συμβάλλεται ἑβδομὰς κατὰ σελήνη ν , διαιρεῖται δὲ κατὰ τὰς ἄρκτου ς , ἀθανάτου Μνήμης σημεί ω.

126b ANONYM. IN PLAT. Theaet. [ Berl. Klassikert. 2] 71, 12 zu p. 152 E Ἐπίχαρμος ὁ 〈ὁμιλή〉 σας τοῖς Πυθα 〈γορείοισ〉 ἄλλα τ 〈έ〉 τινα ἐ 〈πινενόη〉 κεν δ 〈ειν〉 ὰ τ 〈όν τε περὶ το〉 ῦ αὐξο 〈μένου λόγον〉 . ἐφοδ 〈εύει δὲ κατὰ τὸ〉 Ἡρα 〈κλείτου〉 'ἄλλως ἄ 〈λλο ἀεὶ αὔξε〉 ται πρὸς ὃ 〈ἂν ἦι ἐλλι〉 πέσ'. εἰ οὖν 〈μηδεὶσ〉 〈παύε〉 ται 〈ῥέων καὶ ἀλ〉 λ 〈άτ〉 των 〈τὸ εἶδος, αἱ〉 οὐσίαι ἄλλ 〈οτε ἄλλαι〉 γίνονται 〈κατὰ συν〉 εχῆ ῥύσιν.

127 ARISTOCRITUS Theos. 69 ὁ αὐτὸς πρὸς Αἰγυπτίους ἔφη· εἰ θεοί εἰσι ν , ἵνα τί θρηνεῖτε αὐτού ς ; εἰ δὲ θρηνεῖτε αὐτού ς , μηκέτι τούτους ἡγεῖσθε θεού ς.

128 —74 ὅτι ὁ Ἡράκλειτος ὁρῶν τοὺς Ἕλληνας γέρα τοῖς δαίμοσιν ἀπονέμοντας εἶπεν· δαιμόνων ἀγάλμασιν εὔχονται οὐκ ἀκούουσι ν , ὥσπερ ἀκούοιε ν , οὐκ ἀποδιδοῦσι ν , ὥσπερ οὐκ ἀπαιτοῖε ν.

129 DIOG. VIII 6 Πυθαγόρης Μνησάρχου ἱστορίην ἤσκησεν ἀνθρώπων μάλιστα πάντων καὶ ἐκλεξάμενος ταύτας τὰς συγγραφὰς ἐποιήσατο ἑαυτοῦ σοφίη ν , πολυμαθίη ν , κακοτεχνίη ν.

130 GNOMOL. Monac. lat. I 19 (Caecil. Balb. Wölfflin p. u,) non convenit ridiculum esse it a , ut ridiculus ipse videari s. Heraclitus dixit.

131 —Paris. ed. Sternbach n. 209 ὁ δέ γε Ἡ. ἔλεγε τὴν οἴησιν προκοπῆς ἐγκοπή ν.

132 —Vatic. 743 n. 312 Sternb. τιμαὶ θεοὺς καὶ ἀνθρώπους καταδουλοῦντα ι.

133 — —313 ἄνθρωποι κακοὶ ἀληθινῶν ἀντίδικο ι.

134 — —314 τὴν παιδείαν ἕτερον ἥλιον εἶναι τοῖς πεπαιδευμένοι ς.

135 — —315 συντομωτάτην ὁδὸν ἔλεγεν εἰς εὐδοξίαν τὸ γενέσθαι ἀγαθό ν.

136 SCHOL. EPICTET. BODL. p. LXXI Schenkl Ἡρακλείτου· ψυχαὶ ἀρηίφατοι καθερώτεραι (so) ἢ ἐνὶ νούσοις.

137 STOB. Ecl. I 5, 15 p. 78, 11 (nach Aët. I 27 1 s. 22 A 8) γράφει γοῦν ' ἔστι γὰρ εἱμαρμένα πάντως .. .'

138 COD. PARIS. 1630 s. XIV f. 191 r Ἡρακλείτου φιλοσόφου κατὰ τοῦ βίου. Ποίην τις βιότοιο τάμοι τρίβον κτλ.

139 CATAL. CODD. ASTROL. GRAEC. IV 32 VII 106 Ἡρακλείτου φιλοσόφου. Ἐπειδὴ φασί τινες εἰς ἀρχὰς κεῖσθαι τὰ ἄστρα ... μέχρις οὗ ἐθέλει ὁ ποιήσας αὐτόν.

Eulogikon public reading copy · View original HTML at eulogikon.org